ὡς πᾶσιν ἔκδηλον. Εἰ μὲν οὖν ἐδέχθησαν ὑφ' ἡμῶν ἢ πρό-
τερον οἱ τοῦ Ἀπολιναρίου φρονοῦντες· τοῦτο δειξάτωσαν,
καὶ ἡμεῖς στέρξομεν· δῆλον γὰρ ὅτι τοῖς ὀρθοδοξοῦσι συνθέ-
μενοι· οὐ γὰρ ἐνδέχεται ἄλλως τούτου τετυχηκέναι· δείξουσι
δὲ πάντως· ἢ διὰ τόμου συνοδικοῦ· ἢ δι' ἐπιστολῆς κοινωνικῆς·
αὗτος γὰρ τῶν συνόδων ὁ νόμος· εἰ γὰρ λόγος τοῦτό ἐστι καὶ ἀνα-
πλασμός, ὑπὲρ εὐσεβείας ἕνεκεν αὐτοῖς καὶ πιθανότητος
τῆς παρὰ τοῖς πολλοῖς εὑρημένος· διὰ τὸ τῶν προσώπων
ἀξιόπιστον· δίδαξον αὐτοὺς ἠρεμεῖν καὶ διέλεγχε· τῇ γὰρ
σῇ πολιτείᾳ καὶ ὀρθοδοξίᾳ τοῦτο πρέπειν ὑπολαμβάνο-
μεν· μὴ ἀπατάτωσαν οἱ ἄνθρωποι· μηδὲ ἀπατάσθωσαν·
ἄνθρωπον ἄνουν δεχόμενοι τὸν κυριακόν, ὡς αὐτοὶ λέγουσι· μᾶλλον
δὲ τὸν Κύριον ἡμῶν καὶ Θεόν· οὐ γὰρ τὸν ἄνθρωπον χωρίζομεν τῆς θεό-
τητος, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν δογματίζομεν· πρότερον
μὲν οὐκ ἄνθρωπον· ἀλλὰ Θεὸν καὶ Υἱὸν μόνον καὶ προαιώνιον· ἀ-
μιγῆ σώματος, καὶ τῶν ὅσα σώματος, ἐπὶ τέλει δὲ καὶ ἄνθρωπον,
προσληφθέντα ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας· παθητὸν
σαρκί· ἀπαθῆ θεότητι· περιγραπτὸν σώματι, ἀπερί-
γραπτον πνεύματι· τὸν αὐτὸν ἐπίγειον καὶ οὐράνιον· ὁρώμενον καὶ
α΄ νοούμενον· χωρητὸν καὶ ἀχώρητον· ἵν' ὅλῳ ἀνθρώπῳ τῷ αὐτῷ
καὶ Θεῷ, ὅλος ἄνθρωπος ἀναπλασθῇ πεσὼν ὑπὸ τὴν ἁμαρτίαν·
Εἴ τις οὐ θεοτόκον τὴν Μαρίαν ὑπολαμβάνει, χωρίς ἐστι τῆς θεό-
β΄ τητος· Εἴ τις ὡς διὰ σωλῆνος τῆς Παρθένου διαδραμεῖν,
ἀλλὰ μὴ ἐν αὐτῇ διαπεπλάσθαι λέγοι θεϊκῶς ἅμα καὶ ἀνθρωπικῶς·
θεϊκῶς μέν, ὅτι χωρὶς ἀνδρός· ἀνθρωπικῶς δέ, ὅτι νόμῳ κυήσεως,
γ΄ ὁμοίως ἄθεος· Εἴ τις διαπεπλάσθαι τὸν ἄνθρωπον· εἶθ' ὑποδεδυ-
κέναι λέγοι Θεόν, κατάκριτος· οὐ γέννησις γὰρ Θεοῦ τοῦτό ἐστιν.

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_218/0518